τοῦ ἁγίου Πνεύματος κατὰ Λατίνων πρὸς τὸν βασιλέα Ἀλέξιον τὸν Κομνηνὸν σώζεται εἰσέτι ἀνέκδοτον ἐν τῇ ἐν Μόσχᾳ βιβλιοθήκῃ τῆς ἱερᾶς Συνόδου ὑπ' ἀριθμὸν 353.

Νικόλαος ἐπίσκοπος Μεθώνης, τῆς ἐν Πελοποννήσῳ, ἤκμαζεν ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ περὶ τὸ ἔτος 1155, ἦν δὲ εἷς τῶν πολυμαθεστέρων καὶ εὐφυεστέρων φιλοσόφων καὶ θεολόγων τῆς ἐποχῆς ἐκείνης, περὶ οὗ φιλόσοφός τις Νικηφόρος λέγει τάδε.

Ὅσοι γὰρ θεσμοὺς Πατέρων χριστοφόρων,
ἀποστολικὰς παραδόσεις ἐνθέους,
πίστεως ἁπλῆς ἀληθεστάτους ὅρους
θέλετε ἰδεῖν ἀμέμπτους ὀρθοδόξους
δεῦτε προσῆτε τῷ σοφῷ διδασκάλῳ
Νικολάῳ λάμψαντι νέῳ Μεθώνης·
ἔνθους ἀρετῆς, σώφρονος συνουσίας,
ἣν ἔννομοι κυροῦσι τῆς Γραφῆς τύποι,
ὁ τῶνδε πατὴρ γνησίων νοημάτων,
δι' ὧν νόθον κύλικα πορνικοῦ σπόρου
ἔξωθεν ἕλκων, ἀλλόφυλον ὡς γένος
πρὸς ἐξαπάτην τῶν λόγων τοὺς φληνάφους
ἤλεγξε, κατέβαλε ῥίψας εἰς χάος,
καὶ συλλογισμῶν τοὺς ἀσυμπλόκους βρόχους
ἔλυσεν ἄρδην ὡς ἀραχνίους μίτους (α).

Μετὰ τῶν πολλῶν αὐτῷ πεπονημένων συγγραμμάτων, ὧν τὰ πλεῖστα εἰσὶν ἀντιρρητικά, ὑπάρχουσι καὶ κατὰ τῶν λατινικῶν καινοτομιῶν τὰ ἑξῆς. 1) Πρὸς Λατίνους περὶ τῆς ἐκπο-

---

(α) Βλ. τοὺς ὑπ' ἐμοῦ ἐκδοθέντας δύο λόγους τοῦ Νικολάου Κατὰ τῆς αἱρέσεως τῶν λεγόντων τὴν σωτήριον ὑπὲρ ἡμῶν θυσίαν μὴ τῇ τρισυποστάτῳ θεότητι προσαχθῆναι, ἀλλὰ τῷ Πατρὶ μόνῳ. Ἐν Λειψίᾳ 1865.